## Θεοδώρου

## Πρὸς Πλήθωνα ὑπὲρ Ἀριστοτέλους.

T 1
B 1
F 67
D 125

Πλήθων. »Παραπλήσιον δ' αὐτῷ κἀκεῖνο τό· τὸ μὲν καθόλου τῇ ὕλῃ 1, 1
φάσκειν ἀνάλογον ἔχειν, τὸ δὲ κατὰ μέρος εἴδει.«

Θεόδωρος. Ὁ μὲν Ἀριστοτέλης τῷ κοινῶς τε καὶ ἀορίστως ἔχειν τὸ 2
καθ' ὃ καὶ μηθὲν τῶν κατὰ μέρος ἐνεργείᾳ περιέχον ὡρίσθαί τε καὶ μεμορ-
φῶσθαι ἀνάλογον ἔχειν αὐτὸ τῇ ὕλῃ φησὶν ὀρθῶς λέγων. οὕτω γὰρ καὶ τὴν
ὕλην ἔχουσαν θεωροῦμεν, ἀνείδεον ἔτ' οὖσαν καὶ μήπω ἐς τόδε τι διαμορ-
φουμένην τε καὶ ὁριζομένην.

Πλήθων δὲ τῇ μὲν λαμβάνων ψευδῆ συλλογίζεται, τῇ δὲ παρὰ τὸ διττὸν 3
λέληθε πρῶτον ἑαυτὸν παραλογιζόμενος, τὰ δὲ καὶ ἀσυλλόγιστα φάσκει.
οὐδὲ γὰρ εἰ ἐν τῷ ὅλῳ τῶν κατὰ μέρος ἀθροίσματι τὸ εἶδος, τὸ δὲ καθόλου
ὅλον τι, καὶ ἀνάλογον ἔχειν τῷ εἴδει τὸ καθόλου συλλογισμὸς ἔσται. εἰ δὲ
τὸ ἐν ὅλῳ οὐχ οὕτω, τὸ εἶδος δὲ οὐκ ἐν ὅλῳ, ἀλλ' ἂν τὸ ὅλον τι τῷ περιεκτὸν
εἶναι τῶν κατὰ μέρος ὡς τῶν μερῶν τὸ ὅλον, τὸ τοιοῦτον ὅλον οὐκ ἂν ἔχει
ἀνάλογον τῷ εἴδει. οὐ γὰρ ἑαυτοῖς, ἀλλ' ἑτέροις ἔχει ἀνάλογον τὰ ἔχοντα
οὕτως. εἰ δὲ τὸ εἶδος οὐχ οὕτως, ἀλλὰ πρὸς τὴν ὕλην καθ' ὃ ἕκαστόν ἐστιν,
ὥσπερ ἄρα καὶ ἐννοεῖν χρή, οὐδ' οὕτω τὸ εἶδος ἐν τῷ ὅλῳ, ἀλλ' αὐτὸ ἐξ οὗ T 1v
τὸ ὅλον καὶ κατὰ μέρος, ὅ φαμεν ἔχειν ἀνάλογον τῷ εἴδει. οὕτω δὲ ὁ συλ-
λογισμὸς ἔσται, ὅτι τὸ καθόλου ἀνάλογον ἔχει τῷ εἴδει. οὐ μὴν ἀλλ' οὐδέ,
εἴ τις αὐτῷ δοίη ἐν τῷ ὅλῳ εἶναι τὸ τοιοῦτο εἶδος, συλλογισμὸς ἔσται, οὗ
βούλεται. τὸ γὰρ καθόλου οὐχ ὅλον τι, ᾗ τὸ ὅλον ἐν ἑαυτῷ ἔχει τὸ εἶδος, ἀλλ' F 67v
ᾗ περιεκτόν τε καὶ εἰς μέρη διαιρετόν. τοιοῦτο γάρ τοι τὸ καθόλου. τὸ δὲ
καὶ ἐξ εἴδους συγκεῖσθαι τὸ ὅλον ὡς αὐτὸ ἐν ἑαυτῷ ἔχειν τὸ εἶδος συμβαίνει. D 125v

Ψευδὲς καὶ τὸ ἐνεργείᾳ μᾶλλον τὸ καθόλου εἶναι καὶ αὐτὸ ἑαυτοῦ πρότερον 4
καὶ αὐτὸ αὑτοῦ κατηγορούμενον. τὸ γάρ τοι γένος καὶ ὅλως τὸ καθόλου προσ-
λαβὸν μὲν τὰς διαφοράς τε καὶ ἰδιότητας καταμερίζεται εἰς τὰ ὑφ' αὐτὸ καὶ B 1v
μέρος ἑκάστου γίνεται τῶν τοιούτων, διαιρούμενον εἰς τό τι ἦν εἶναι καὶ τὸν
λόγον ἑκάστου. πρὶν δὲ λαβεῖν, ἤτοι ὡς γένος ἢ ὡς εἶδος τυγχάνει κατηγορού-
μενον. καὶ περιέχει, οὐ περιέχεται. ὥστε εἰ τὸ καθόλου τε καὶ κατηγορού-
μενον τῶν καθ' ἕκαστον ἐνεργείᾳ ἔστι τὰ κατὰ μέρος αὐτά, ὁ ἤδη ἐνεργείᾳ
ἄνθρωπος κατηγορεῖτο ἂν τοῦ ἐνεργείᾳ ἀνθρώπου, καὶ ὁ ἐνεργείᾳ ἵππος τοῦ
ἐνεργείᾳ ἵππου. καὶ προσέσται δὴ τῷ ἀτόπῳ τὸ μηδὲ ἐπὶ πλέον εἶναι τὸ τοιοῦτο T 2

---

8 θεωροῦμεν T F B θεωρούμενος D | 11 πρῶτον T F B πρῶτα D | 12 εἰ T B D] F *om.* | 24 συγκεῖσθαι T B κεῖσθαι D κινεῖσθαι F

3 Pleth. De differentia c. 5 (PG 160, 897 C).

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κατηγορούμενον τοῦ ὑποκειμένου. εἰ δὲ μή, ἤτοι ἕκαστον τῶν ζῴων πάντα ἔσται τὰ ζῷα, ἢ ἄνθρωπος ἔσται ἵππος, καὶ ὁτιοῦν ἔσται ὁτιοῦν.

5 Ταυτὶ δὲ τὰ ἄτοπα καὶ ὁ φιλόσοφος Πορφύριος συνορῶν, ἀνὴρ πολλῷ σοφώτερος Πλήθωνος· »τὸ δὲ ζῷον, φησίν, οὔτε οὐδὲν τούτων ἐστίν, ἐπεὶ πόθεν ἂν τὰ εἴδη σχοῖεν τὰς διαφοράς, οὔτε πάσας τὰς ἀντικειμένας ἔχει ἐνεργείᾳ, ἀλλ' ὡς ἀξιοῦσι, δυνάμει μὲν πάσας ἔχει τὰς ὑφ' αὐτὸ διαφοράς, ἐνεργείᾳ δὲ οὐδεμίαν.« τὸ δὲ τελεώτερον διττῶς. ἢ γὰρ ὡς περιεκτικώτερόν
F 68 τε καὶ ἐπὶ πλέον, ἢ ὡς τόδε τι ὂν ἐνεργείᾳ καὶ ταῖς διαφοραῖς ἤδη συμπληρού-
D 126 μενον καὶ διακρινόμενον ἰδιότησι καὶ ὥσπερ διαφθερούμενον καὶ ὅλον ἀποτελούμενον, οὗ πρότερον μέρος τι ἦν. ὁ γάρ τις ἄνθρωπος, ὡς μὲν τοῦ ζῴου μέρος, ὡς δὲ οὐ μέρος, ἀλλ' ὅλον καὶ περιεκτικὸν τοῦ ζῴου, ὃν εἴρηται τρόπον, καὶ τελεώτερον ταύτῃ καὶ ὁμοιότερον τῷ εἴδει, ὥς τε Πλήθων τέλειόν τι λέγων τὸ καθόλου, τῷ δὲ τελείῳ προσήκειν τὸ εἶδος. οὐ διὰ τοῦ αὐτοῦ μέσου συμπεραίνεται ἀνάλογον ἔχειν τῷ εἴδει τὸ καθόλου.

2, 1 Πλήθων. »Τῆς δ' αὐτῆς ἀμαθίας ἔχοιτ' ἂν καὶ τὸ ἁπλῶς καθόλου ἐλαττοῦν τοῦ κατὰ μέρος.«

2 Θεόδωρος. Ἔδει Πλήθωνα, εἴπερ αὐτῷ Ἀριστοτέλης λέγων οὐκ ὀρθῶς
T 2v ἐδόκει περὶ οὐσίας, ἐλέγχειν τὰ λεγόμενα φαύλως πειρᾶσθαι, ἀλλὰ μὴ λοιδορεῖσθαι τἀνδρί, οὐχ ὅπως μηθὲν ὑπ' αὐτοῦ ἠδικημένον, ἀλλὰ καὶ εὖ παθόντα. οὕτω γὰρ ἀμαθὴς μὲν ἂν ἦν, φαῦλος δὲ ἥκιστα ὢν ἐφαίνετο. ἐπεὶ δὲ ἀμαθῶς
B 2 καὶ ἅμα κακοήθως ὥρμηται ἐπ' Ἀριστοτέλη, τῆς μὲν ἀκολάστου γλώττης καὶ τοῦ κακούργου καὶ ἀχαρίστου ἤθους δίκην δώσει ἐν ἄλλοις.

3 Νῦν δὲ ἣν ᾔτηκας ἀπόκρισιν, ἑταῖρε Ἡσαΐα, ποιούμεθά σοι, εἰς ἅττα περὶ οὐσίας ἐπιλαμβάνεται τοῦ ἀνδρὸς ὡς μὴ ὀρθῶς εἰρηκότος, ὅτι αἱ μὲν καθ' ἕκαστα οὐσίαι πρῶται καὶ κυριώταται εἶεν, τὰ δὲ εἴδη καὶ τὰ γένη δεύτεραι καὶ ἧττον οὐσίαι τῶν καθ' ἕκαστα. Ἀριστοτέλης μὲν οὖν τῷ τὰς καθ' ἕκαστα οὐσίας τοῖς ἄλλοις ἅπασιν ὑπονοεῖσθαι καὶ τἆλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι ἢ ἐν ταύταις εἶναι πρώτας μάλιστα καὶ κυριωτάτας φησὶ λέγεσθαι εἴτ' αὐτὸς οὕτω πρῶτος καλῶν εἴτε καὶ ἑτέρων τινῶν παλαιοτέρων δόξῃ καὶ διαιρέσει χρώμενος.

4 Ὅπως ἂν μέντοι καὶ ἔχοι, τοῦτό γε τέως ἐῶμεν. ὅτι δὲ ὀρθῶς καὶ ταῦτα
F 68v D 126v εἴρηται τῷ ἀνδρὶ καὶ οἰκείως τῇ λογικῇ ἐπιστήμῃ, ἧς πέρι διδάσκων ταῦτά φησι, δῆλον ἐκεῖθεν. ἀεὶ γὰρ διὸ ὑπάρχει ἕκαστον, ἐκεῖνο μᾶλλον ὑπάρχει.
T 3 τὰ δὲ εἴδη καὶ τὰ γένη διὰ τὰ καθ' ἕκαστα. μὴ οὐσῶν γάρ τοι τῶν πρώτων οὐσιῶν ἀδύνατον εἶναί τι τῶν ἄλλων. πάντα γὰρ τὰ ἄλλα ἤτοι καθ' ὑποκειμένων λέγεται ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστιν. καὶ πρῶτα δὲ κυρίως τὰ

6 ἔχει T] F B D *om.* | 13 προσήκειν T B προσήκαν F D | 15 Πλήθων D] F T *om.* | 15—16 Τῆς δ' αὐτῆς ἀμαθίας . . . μέρος T *in textu* F D *in marg.* B *om.* | 17 Θεόδωρος D *in marg.* | 17 Πλήθωνα T B F Πλήθων D | 19 ἠδικημένον T B F ἤδη κείμενον D | 20 γὰρ F μὲν T B D | 20 ἀμαθὴς T B ἀμαθεῖς F D | 21 μὲν ἀκολάστου T B F μὴ ἀκράτου D | 22 δίκην T B F δίκης D | 25 εἴδη T B D εἴδει F | 31 ἔχοι] ἔχῃ T B D ἔχει F

4 Porphyr. Isagoge (*ed. Busse*) 11, 2—5. | 15 Pleth. De diff. c. 4 (PG 160, 896C).

γνωριμώτερά τε ἡμῖν καὶ ἀρχὴν τὴν κατὰ γένεσιν ἔχοντα, ὥσπερ ἄρα καὶ
ἅμα ἁπλῶς καὶ κυριώτατα λέγεται, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ. τοιαῦτα
δὲ τὰ καθ' ἕκαστα καὶ τὸ περιέχον ἐνεργείᾳ, τὸ ὑφ' οὗ δυνάμει αὐτὸ περιέχεται,
τοῦτο πρότερόν τε καὶ κυριώτερον καὶ μᾶλλον ὂν λέγοιτο ἂν ὀρθῶς. περιέχουσι
δὲ αἱ καθ' ἕκαστα οὐσίαι τὰς καθόλου ἐνεργείᾳ, περιέχονται δὲ ὑπ' αὐτῶν
δυνάμει. καὶ τὸ τόδε τι ὂν ἐνεργείᾳ μᾶλλον ὂν καὶ κυριωτέρως τοῦ δυνάμει
τόδε τι ὄντος. τοιοῦτο δὲ τὸ καθ' ἕκαστον, καὶ ὧν πρώτως τὰ συμβεβηκότα
κατηγορεῖται, ταῦτα δὴ καὶ πρότερα καὶ κυριώτατα καὶ μάλιστα ὄντα.

Ἀλλὰ μὴν τῶν καθ' ἕκαστα οὐσιῶν οὕτω κατηγορεῖται. ὁ γάρ τις ἄνθρωπος 5
περιπατεῖ, οὐχ ὁ ἄνθρωπος· ἀλλ' ἢ κατὰ συμβεβηκός. καὶ τό τι ζῷον, οὐ B 2v
τὸ ζῷον. αἱ καθ' ἕκαστα ἄρα οὐσίαι κυρίως καὶ πρώτως καὶ μάλιστα οὐσίαι
ἂν εἶεν, ᾗ Ἀριστοτέλης φησίν. Πλήθων δὲ εὖ μάλα εἰδώς φησιν, ὅτι οὐ τὸ T 3v
μέρος τοῦ ὅλου, ἀλλὰ τὸ ὅλον τοῦ μέρους μεῖζον, οὐκ ἂν συγχωροίη τἀνδρί.

Πλήθων. Διαφορώτερον δὴ οὖν τοῦτο εἰς σοφίαν ἢ κατὰ τὴν Ἀριστοτέλους 3, 1
ἐπιστήμην μεμαθηκέναι οἰόμενος αὐτὰ ὧδε λέγει· »ἡμεῖς δ' οὔποτε τοῦ κατὰ F 69v D 127
μέρος ἧττον τὸ καθόλου φήσομεν, ἕως ἂν μὴ μέρος τοῦ ὅλου, ἀλλὰ τὸ ὅλον
τοῦ μέρους μεῖζον ᾖ.«

Θεόδωρος. Ἀλλ' οὐδ' ἡμεῖς τὸ καθόλου ἧττον τῶν κατὰ μέρος φαμέν. 2
ἀλλὰ κἂν παίδων ἀκούσειε Πλήθων λεγόντων, ὅτι τὸ γένος καὶ ὅλως τὸ
καθόλου ἐπὶ πλέον τοῦ κατὰ μέρος, ἅτε δὴ μηδ' αὐτῶν ἀγνοούντων ἐκεῖνο
τὸ σοφόν, ὅτι μεῖζον τὸ ὅλον τοῦ μέρους. φαμὲν δ' ὅτι αἱ καθ' ἕκαστα οὐσίαι
μᾶλλον οὐσίαι εἰσὶ τῶν καθόλου διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι καὶ
τἆλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι ἢ ἐν ταύταις εἶναι. ὃ δ' ἔοικε μηθὲν
ἐπαΐων, τί μᾶλλον οὐσίαν εἶναι διαφέρει τοῦ μεῖζον εἶναι; οὐ γὰρ ἂν ᾤετο
καὶ μᾶλλον οὐσίαν εἶναι τὰ καθόλου τῷ μείζω εἶναι. ὡς ὅλ' ἄττα τῶν κατὰ
μέρος οὔκουν σκοπεῖσθαι χρή, εἰ μεῖζον καὶ ἐπὶ πλέον τὸ καθόλου. οὐθὲν
γὰρ τουτὶ διαφέρει ἐς ὃ βούλεται δεῖξαι. τὸ μὲν γὰρ μεῖζον καὶ ἔλαττον,
μεγέθους δὲ περὶ οὐσίαν. ἡμεῖς δὲ τὰς καθ' ἕκαστα οὐσίας αὐτὰς μᾶλλον T 4
εἶναι οὐσίας φαμὲν οὐδενὶ ἄλλῳ ἢ τῷ τῆς οὐσίας λόγῳ. ὥσπερ οὖν εἰ πολλὰ
μὲν τὰ λευκὰ Πλήθων ἑώρα, ἓν δὲ τὸ τῶν λευκῶν ὑποκείμενον, οὐκ ἔδει τὰ
λευκὰ μᾶλλον τοῦ ὑποκειμένου οὐσίαν εἶναι δοξάζειν τῷ πλείω εἶναι. οὕτω
δὲ οὐδὲ τὸ καθόλου μᾶλλον εἶναι οὐσίαν οἴεσθαι χρὴ τῷ μείζω εἶναι καὶ
ἐπὶ πλέον τῶν καθ' ἕκαστα.

Πλήθων. »Ἴσμεν δέ, φησί, καὶ τὴν τοῦ καθόλου ἐπιστήμην τῆς κατὰ 4, 1
μέρος βελτίω οὖσαν.«

Θεόδωρος. Τοῦτο δὲ καὶ Ἀριστοτέλη ἀξιοῦν ὀρθῶς λέγει. οὐ μέντοι τῷ 2
τὸ καθόλου μᾶλλον εἶναι οὐσίας — οὐδαμοῦ γὰρ τῶν λόγων οὔτε τῶν λογικῶς
κατασκευαζόντων οὔτε τῶν ἀναλυτικῶς ταῦτα εἴρηται — ἀλλὰ δι' ἄλλ' ἄττα B 3
καὶ ἐπὶ τῶν προτάσεων, ὅτι τὴν προτέραν ἔχοντες καθόλου ἴσμεν πως καὶ F 69v D 127v
τὴν ὑστέραν καὶ ἔχομεν δυνάμει. οἷον εἴ τις οἶδεν ὅτι πᾶν τὸ τρίγωνον δύο

7 πρώτως T B D πρῶτος F | 24 ἐπαΐων T B F ἢ παΐων D | 25 ὅλ' ἄττα T B ὅλαττα F D

15 Pleth. De diff. c. 4 (PG 160, 897 C). | 34 Pleth. De diff. c. 4 (PG 160, 897 B).

ὀρθαῖς, οἶδέ πως καὶ τὸ ἰσοσκελὲς ὅτι δύο ὀρθαῖς δυνάμει, καὶ εἰ μὴ οἶδε τὸ ἰσοσκελὲς ὅτι τρίγωνον. ὁ δὲ ταύτην τὴν πρότασιν ἔχων τὸ καθόλου οὐδαμῶς οἶδεν οὔτε δυνάμει οὔτε ἐνεργείᾳ.

3 Ταύτῃ μὲν οὖν Ἀριστοτέλης τὴν καθόλου ἀπόδειξιν βελτίω καὶ κυριωτέραν T 4ᵛ τῆς κατὰ μέρος εἶναί φησι, καίτοι ταῦτα οὐ πάνυ τι πρὸς τῆς ἑαυτοῦ δόξης οὔτε προστίθησιν, ἀλλὰ πρὸς τοὺς ἐπιστήμην τῶν κατὰ μέρος εἶναι τιθέντας, καὶ ταύτην βελτίω, ὡς αὐτός γε οὐδ᾽ ἀπόδειξιν ἁπλῶς εἶναι τῶν κατὰ μέρος ἀξιῶν φαίνεται. λέγει γὰρ ὅτι καὶ ἡ ἀπόδειξις καθ᾽ αὑτὸ τῶν καθόλου ἐστί, τῶν δ᾽ ἄλλων τρόπον τινὰ οὐ καθ᾽ αὑτό, καὶ ὅτι ἐὰν ὦσιν αἱ προτάσεις καθόλου, ἐξ ὧν ὁ συλλογισμός, ἀνάγκη καὶ τὸ συμπέρασμα ἀΐδιον εἶναι τῆς τοιαύτης ἀποδείξεως καὶ τῆς ἁπλῶς εἰπεῖν ἀποδείξεως. οὐκ ἔστιν ἄρα ἀπόδειξις τῶν φθαρτῶν, οὐδ᾽ ἐπιστήμη ἁπλῶς, ἀλλ᾽ οὕτως ὥσπερ κατὰ συμβεβηκός, ὅτι οὐ καθόλου αὐτοῦ ἐστιν, ἀλλὰ ποτε καί πως. δεδόσθω μέντοι καὶ κατ᾽ αὐτὸν Ἀριστοτέλη τὴν τοῦ καθόλου ἐπιστήμην βελτίω εἶναι, ἀλλ᾽ οὐχ ὡς μᾶλλον οὐσίαν — ἐν γὰρ τοῖς καθ᾽ ἕκαστα τὸ καθόλου — ἀλλ᾽ ὡς μᾶλλον τοῦ αἰτίου καὶ τοῦ διὰ τί ἐστιν καὶ ὡς ἁπλοῦ τε καὶ πέρατος καὶ ὡς νοητοῦ καὶ ὅσα ἄλλα Ἀριστοτέλης φησίν.

4 Ἐπιστήμην μὲν τοίνυν τῶν καθόλου ὀρθῶς ἂν οἴοιτο Πλήθων παρ᾽ Ἀριστοτέλους καὶ τοῦτο μαθών, ἐπεὶ Πλάτωνός γε οὐδενὸς ἂν ἐπιστήμην T 5 οὖσαν ἀκούοι. φαύλως δὲ ἐκλαθέσθαι ἑαυτοῦ φάσκει τὸν ἄνδρα καὶ αὐτῷ αὐτὸν F 70 ἀσύμφωνον εἶναι. οὔτε γὰρ ἐπὶ τούτων ἄλλων οὔτε ἐνταῦθα ἀσύμφωνος ἑαυτῷ, D 128 ἀλλ᾽ εὖ μάλα τῶν αὑτοῦ μεμνημένων λόγων καὶ σύμφωνα λέγων ἀξιοῖ ἐπιστήμην τῶν καθόλου εἶναι καὶ μὴ τῶν κατὰ μέρος ἁπλῶς. ἔστι γὰρ οὐδὲ ταῦτα B 3ᵛ πλέον τι ἀνύοντα τὸ καθόλου μᾶλλον οὐσίαν εἶναι. οὐ γὰρ ἐπιστήμη τῶν καθόλου τῷ μᾶλλον ταῦτα οὐσίας εἶναι, ἀλλὰ τῷ ἄφθαρτα καὶ ἀΐδια εἶναι. τὸ δ᾽ ἀΐδιον οὐκ ἀφ᾽ ἑαυτοῦ τὸ καθόλου ἴσχει, ἀλλ᾽ ἐκ τοῦ τὰ καθ᾽ ἕκαστα ἀεὶ εἶναι ταὐτά, ἀριθμῷ μὲν ἕν, εἴδει δέ. διὸ δὴ καὶ μᾶλλον οὐσίαν εἶναί φαμεν, ὡς ἐκ τούτων ἐκείνοις ὑπάρχοντος καὶ τοῦ εἶναι καὶ τοῦ ἀϊδίοις εἶναι. ὅτι δὲ τὸ ἀΐδιον οὐ μᾶλλον οὐσίαν ὂν τὸ καθόλου ἀποδεικνύειν, κἂν ἐκεῖθέν τε μάθοι. πολλὰ γὰρ τῶν λευκῶν καὶ μελάνων καὶ ἐρυθρῶν καὶ εὖ χιλιοστὸν σώζοιτ᾽ ἂν ἔτος. ἀνθρώπων δὲ οὐδεὶς ἂν οὐδ᾽ εἰς διακοσιοστὸν ἀφίκοιτο. ἀλλ᾽ οὐκ ἂν διὰ τοῦτο ἐκεῖνο τὸ λευκὸν μᾶλλον οὐσία εἴη Σωκράτους.

5, 1 Πλήθων. »Εἰ ἡ οὐσία ἐστὶ τὸ μάλιστα ὄν, κἂν τὸ καθόλου μεῖον ⟨ὂν τὸ κατὰ μέρος⟩, ἐς οὐσίας λόγον ἧττον ἂν εἴη.«

2 T 5ᵛ Θεόδωρος. Οὐθὲν δὲ τοῦτο ἄτοπον. οὐσία μὲν γὰρ ἑκάστη τοῦτο, ὅπερ ἐστίν, οὐ λέγεται μᾶλλον καὶ ἧττον, οἷον εἴ ἐστιν αὐτὴ ἡ οὐσία ἄνθρωπος, οὐκ ἔστι μᾶλλον καὶ ἧττον ἄνθρωπος, οὔτε αὐτὸς ἑαυτοῦ οὔτε ἑτέρου. οὐσίαν δὲ οὐσίας μᾶλλον εἶναι οὐσίαν, οἷον τὰ εἴδη τῶν γενῶν καὶ τὰ καθ᾽ ἕκαστα τῶν καθόλου, οὐθὲν κωλύειν φαμέν.

---

5 πάνυ τι T πάνυ τοι B F D | 13 κατ᾽ αὐτὸν T B D καθ᾽ αὑτὸν F | 20 ἐκλαθέσθαι T ἐκλειθέσθαι B F D | 22 μεμνημένων T μεμνημένου B F D | 27 ἓν *scripsi* ὂν T B F D | 33 Εἰ *sec. loc. cit.* Ἔτι *codd. mss.* | ⟨ὂν τὸ κατὰ μέρος⟩ *sec. loc. cit.* | 38 εἴδη T B F εἴδει D

20 cf. Pleth. De diff. c. 4 (PG 160, 897 B). | 33 Pleth. De diff. c. 4 (PG 160, 896 D).

Ε. ΓΙΑ την Κτ.II ΙΩΑΝΝΙΝΑ 2006

3 Καὶ συγχωρεῖ μὲν Πλήθων ἀληθῆ εἶναι τὸν λόγον περὶ τοῦ καθόλου οὐ καθόλου λαμβανομένου, οἷόν τινα ἄνθρωπον τοῦ τινος ἀνθρώπου μᾶλλον εἶναι οὐσίαν ἀδύνατον ὄν. ἀνθρώπου δ' ἁπλῶς μᾶλλον εἶναι τόν τινα ἄνθρωπον [F 70v] οὐ προσίεται, ἀλλὰ συναρπασθῆναι Ἀριστοτέλη φησὶν ὑπ' ἐκείνης τῆς οὐσίας, ὅτι ὁ ἄνθρωπος ἔσθ' ὅτε τοῦ τινος ζῴου βελτίων, καὶ Σωκράτης τοῦ τινος [D 128v] ἀνθρώπου, αὐτὸς ὢν φανερῶς ὁ τοιοῦτό τι πάσχων. Ἀριστοτέλης γὰρ προτέρας μὲν καὶ κυριωτέρας καὶ μάλιστα οὐσίας τὰς καθ' ἕκαστα εἶναί φησι, βελτίους δὲ τὸν τρόπον οὐδαμοῦ λέγει. οὗτος δὲ συναρπαζόμενος ὑπὸ τοῦ προτέρου καὶ κυριωτέρου καὶ ὧν φαμεν ἄλλων, οἴεται καὶ τοῦτ' ἂν φάναι τοὺς ἐκεῖνα τιθέντας. διὸ καὶ ἀφεὶς τὸ μὴ μᾶλλον οὐσίας εἶναι, συμπεραίνειν μηθὲν βελτίους ἀποφαίνεται οὔσας, ὃν τρόπον Σωκράτης βελτίων ἀνθρώπου του. οὐ γὰρ [B 4 T 6] Πλήθων ἐξαπατῶν καὶ συκοφαντῶν οὕτω ποιεῖται τὸν λόγον ἀγαθὸς ὤν, ἀλλ' ὡς ἀληθῶς ἀγνοῶν καὶ συναρπαζόμενος.

4 Σκοπῶμεν δὲ πάλιν ὡδί. καὶ εἰ μὲν »περὶ τοῦ καθόλου φησὶν οὐ καθόλου λαμβανομένου« ἔλεγέ τι τοιοῦτο, εἶχεν ἂν λόγον. νῦν δὲ περὶ τοῦ ἁπλῶς καθόλου φαίνεται τὸν λόγον ποιούμενος. ταῦτα δὲ εἰπὼν ἐπιφέρει· »ἐπὶ δὲ τοῦ καθόλου καθόλου λαμβανομένου οὐκ ἔστι τοιοῦτον εἰπεῖν«, ὥσπερ εἰ ταὐτὸ ἦν περὶ τοῦ ἁπλῶς καθόλου τὸν λόγον ποιεῖσθαι, καὶ περὶ τοῦ καθόλου ὅτι καθόλου. ἀλλὰ μὴ καὶ τυφλῷ ὂν τὸ λεγόμενον δῆλον, ὡς τὸ μὲν ἁπλῶς καθόλου, οὗ τὰς καθ' ἕκαστα οὐσίας κυριωτέρας εἶναί φαμεν, κοινόν τι ἀδιανέμητον καὶ δυνάμει τὰ καθ' ἕκαστα ὂν τυγχάνει, τὸ δὲ καθόλου, ὅτι καθόλου τῇ τοῦ κοινοῦ διαιρέσει δὴ καὶ διανομῇ, εἰς τὰ καθ' ἕκαστα ἅπαντα θεωρεῖται, ὥστ' εἶναι ταὐτὸν πάντα ἄνθρωπον καὶ τοὺς καθ' ἕκαστα πάντας ἀνθρώπους, διὸ δὴ καὶ ψευδὲς εἰπεῖν, ὅτι Σωκράτης πᾶς ἄνθρωπος, ὅτι δὲ ἄνθρωπος, ἀληθές. τουτὶ μὲν γὰρ τὸ ἁπλῶς καθόλου, ἐκεῖνο δὲ τὸ καθόλου ὡς καθόλου. [F 71 D 129]

5 Καὶ τοῦτό γε ὀρθῶς καὶ Πλήθων φησὶν ἐπὶ τοῦ καθόλου λαμβανομένου, καθόλου λέγων μὴ εἶναι τὸ τοιοῦτο εἰπεῖν. οὐ γὰρ ὅ τις ἄνθρωπος μᾶλλον [T 6v] οὐσία τῶν καθ' ἕκαστα ἀνθρώπων ἢ τῶν πάντων ἀνθρώπων ἢ τοῦ παντὸς ἀνθρώπου. μὴ γάρ· διαφερετὼ γὰρ ταυτὶ Πλήθωνι. ἀλλὰ τοῦ καθόλου ἁπλῶς ἀνθρώπου οἰόμενος διαφέρειν ἐξαπατᾶται. καὶ τὸν πάντα δὴ ἄνθρωπον τοῦ τινος ἀνθρώπου κατηγορεῖν οὐκ ἂν ἀξιῴη, εἰ μέλλει αὐτῷ συμφωνεῖν, ὥστε καὶ πάντας ἀνθρώπους ὁμοῦ καὶ χωρίς. οὐθὲν γὰρ οὐδὲ Πλήθωνι διαφέρει ὁμοῦ ἢ χωρὶς λαμβάνεσθαι. πῶς δ' ἂν ὁ πᾶς ἄνθρωπος τὸ καθόλου εἴη, Πλήθων οὐ λέγει. ἀλλὰ συλλογιζόμενος ἐκ ψευδῶν λόγους γέ τινας πειρᾶται ἀποδιδόναι, ὧν φαύλως λαμβάνει. ὁ γάρ τοι πᾶς ἄνθρωπος τί ποτ' ἂν ἕτερον εἴη τοῦ ὅλου τῶν καθ' ἕκαστα ἀθροίσματος; τουτὶ δέ, οὐ τὸ ἀνθρώπου εἶδος, εἶδός ἐστι καὶ τό τι ἦν εἶναι, ᾧ τὸ καθόλου νοοῦμεν. ὁ δὲ κἀνταῦθα [B 4v] παρὰ τὴν ὅλου ὁμωνυμίαν ἔοικεν ἀπατώμενος. ὅλον γάρ τοι καὶ τὸ καθόλου.

---

16 ἐπὶ T B F ἐπεὶ D | 19 οὗ T B F οὐ D | 27 τοιοῦτο T B τοιοῦτον D | 29 διαφερετὼ D διαφερέτω F A T | Πλήθωνι *scripsi* Πλήθων *codd.* | 30 ἐξαπατᾶται] ἐξαπᾶται D | 36 ἕκαστα] T B F *add.* ἀνθρώπου D *om.* | 38 τοι T B F τὶ D

14 Pleth. De diff. c. 4 (PG 160, 897 A). | 16 Pleth. ibidem.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

6. Εἶτα »χαίρειν Ἀριστοτέλη φησὶν τῇ τοῦ ὄντος κατατομῇ«, αὐτὸς ὢν ὁ
φαύλως τὸ ἓν διαιρῶν. τὸ γάρ τοι καθόλου ἁπλοῦν καὶ ἓν καὶ ἀδιαίρετον
Ἀριστοτέλη τιθέμενον διαφέρειν φάσκει μηθὲν τοῦ παντὸς ἀνθρώπου καὶ
T 7 κατατεμνομένου εἰς τὸ τῶν καθ' ἕκαστα πλῆθος. οἱ μὲν οὖν περὶ Ἀριστοτέλη
καὶ διαιροῦσι τὸ ἓν καὶ ἀδιαίρετον φυλάττουσιν, ἔνθα δεῖ. οἱ δὲ περὶ Πλάτωνα
οὕτω φαύλως ἔχονται ἀεὶ τοῦ ἑνός, ὡς μηδ' ἐν τοῖς περὶ πολιτείας λόγοις
F 71ᵛ ἰδίας ἀξιοῦν εἶναι τοῖς πολίταις γυναῖκας, ἀλλὰ πᾶσι κοινάς. ὥστε εἰ καὶ
D 129ᵛ Πλήθων Ἀριστοτέλει μέμφεται, ὅτι τὸ περὶ τὰς γυναῖκας ἓν καὶ κοινὸν κατα-
τετμηκώς, εἴη· ἀληθῆ μὲν ἂν λέγοι. μέμφεσθαι δὲ ἥκιστα δεῖ πρὶν καὶ διότι
ἀποδείξαντα αἱρεῖν λόγῳ. ἕπεσθαι δέ φησιν οὐκ ἐθέλειν τἀνδρί, ὅτι καὶ ὁ
θεὸς οὐ τοῦ τινος ἕνεκα ἀνθρώπου τὴν ὅλην ἀνθρωπείαν φύσιν, ἀλλὰ τῆς
ὅλης ἀνθρωπείας φύσεως ἕνεκα τοὺς καθ' ἕκαστα ἀνθρώπους διατίθησι.
καὶ ἐλλαμπρύνεται τὸ τοῦ Πλάτωνος, ὅτι μέρος ὅλου ἕνεκα, οὐχ ὅλον μέρους
ἕνεκα ἀπεργάζεται ὁ θεός. τοιαῦτα δὲ καὶ Ἀριστοτέλης πολλαχοῦ λέγει καὶ
βέλτιον καὶ σεμνότερον. ὅς γε καὶ τῆς πόλεως ἕνεκα τοὺς καθ' ἕκαστα ἀνθρώ-
πους πρὸς τῆς φύσεως διατετάχθαι φησί, καὶ ταῦτα προτέραν τὴν πόλιν
τῶν καθ' ἕκαστα εἶναι ἀνθρώπων, ἕτερόν γε μὴν τὸ τῇ φύσει πρότερον τοῦ
ἡμῖν προτέρου καὶ ἐγγύτερον τῆς αἰσθήσεως. ὃ δὴ μᾶλλον οὐσίαν ἡμεῖς λέγοντες
εἶναι, ὑπ' οὐδενὸς τῶν ἐναντίων λόγων περιτρεπόμεθα.

---

7 ἰδίας T B F ἰδέας D | 11 τὴν ὅλην T B F] D *om.* | 13 ἐλλαμπρύνεται T B ἐλαμπράνεται F D | 15—19 καὶ σεμνότερον . . . περιτρεπόμεθα T] B F D *om.*

1 Pleth. De diff. c. 4 (PG 160, 897 B).

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# MICHAELIS APOSTOLII
# AD THEODORI GAZAE PRO ARISTOTELE DE SUBSTANTIA ADVERSUS PLETHONEM OBIECTIONES.

Mit dieser Schrift wandte sich Michael Apostolios gegen Theodoros Gazes. Ohne die leiseste Ahnung zu haben, wie Gazes zu seiner Darlegung gekommen war, und in dem sicheren Vertrauen zu Bessarion, den er für einen ausgesprochenen Platoniker hielt, verteidigte er Plethon und ließ es an bitteren Worten gegen Gazes nicht fehlen. Wie das Begleitschreiben zeigt, glaubte Michael durch seine kühnen Schwertstreiche die Gunst des griechischen Kardinals und damit materielle Unterstützung sich zu sichern.

Das Begleitschreiben ist schon durch die Veröffentlichung bei E. Legrand, Bibliographie Hellénique II (Paris 1885) p. 240 bekannt. Es darf hier nicht fehlen. Vorliegende Erstausgabe der Abhandlung beruht auf folgenden Handschriften:

a) Florenz, Bibl. Laur. Plut. 58 Cod. gr. 33, fol. 91—96 = L.
b) Mailand, Bibl. Ambr. Cod. F 88 sup. fol. 72—79 v = F.
c) Mailand, Bibl. Ambr. Cod. D 118 inf. fol. 131 v—141 = D.
d) Mailand, Bibl. Ambr. Cod. I inf. 95, fol. 1—7 = I.
e) Rom, Cod. Palat. gr. 275, fol. 177—182 v = P.
f) München, Cod. gr. 77, fol. 165—170v = Mn.

Außerdem ist sie in weiteren Handschriften überliefert:

g) Rom, Cod. Barb. gr. 84, fol. 73—96 v = B.
h) Mailand, Bibl. Ambr. Cod. M sup. 41, fol. 90—97 = M.
i) Escurial, Cod. gr. 74 (Σ I 18), fol. 1—10 v.
k) Wien, Cod. Phil. gr. 69, fol. 1—10.

**L** (Cod. chart. 26,7 × 20,5 cm, 157 fol. XV saec.) bietet, von wenigen Ausnahmen abgesehen, einen einwandfreien Text.

**F** (Cod. chart. 21,7 × 14,5 cm, 356 fol. XV saec. ex. vel XVI saec. in. vgl. oben S. 152) zeigt gegenüber L einige Fehler und Auslassungen auf.

**D** (Cod. chart. fol. 1—122: 34,5 × 23,2 cm; fol. 123—160: 28,3 × 18,2 cm; fol. 161—164: 34,5 × 23,2 cm, XVI saec. vgl. oben

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

S. 152) hat noch mehr Verschlechterungen als F, wenn er auch im allgemeinen noch einen guten Text aufweist. D stammt wahrscheinlich aus F. D und F haben der Abhandlung das Begleitschreiben Michaels an Bessarion vorangesetzt.

**I** (Cod. chart. 20,5×27,5 cm, 173 fol. XV saec. ex.) bietet zumeist die gleichen Lesarten wie L und F. Zuweilen stimmt er aber auch im Gegensatz zu diesen mit Mn überein.

**P** (Cod. chart. 21,5×28,5 cm, 232 fol. XV saec. ex.) stimmt bis auf einige Ausnahmen mit I überein.

**Mn** (Cod. chart. 23,5 × 34,5 cm, 312 fol. XVI saec.) bietet einen sehr verschlechterten Text. Fehler und Auslassungen sind bei ihm sehr häufig. Aber dadurch, daß Mn auf eine andere Vorlage als F zurückgeht, kommt ihm einige Male besondere Beachtung zu.

Die Handschrift, geschrieben im Auftrag von Joh. Jak. Fugger, Grafen von Kirchberg und Weißenborn, gehörte ursprünglich zur Fuggerschen Bibliothek. Vgl. Band I 362 n. 3 a.

**B** (Cod. chart. 15,5×21 cm, 41 fol. XVI saec.) ist eine ganz späte Abschrift.

**M** (Cod. chart. 14,5×20 cm, 208 fol. XVI saec. ex.) kommt wie B als spätere Abschrift für die Bearbeitung des Textes nicht in Frage.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Μιχαήλου Ἀποστόλη Βυζαντίου F 72 D 131
## Πρὸς τὰς ὑπὲρ Ἀριστοτέλους περὶ οὐσίας κατὰ Πλήθωνος M 165
## Θεοδώρου τοῦ Γαζῆ ἀντιλήψεις.

Τῷ αἰδεσιμωτάτῳ καρδινάλει καὶ θαυμαστῷ Βησσαρίωνι, τῷ Νικαίας. F 72 D 131

Οἶδά σε, θειότατε καρδινάλεων, δυοῖν τούτοιν ὄντοιν ἡγεμόνοιν τῶν λόγων Ἀριστοτέλους καὶ Πλάτωνος, μᾶλλον Πλάτωνι ἢ Ἀριστοτέλει προσκείμενον, ἅτε κρείττονι ἐς σοφίαν Ἀριστοτέλους αὐτοῦ, καὶ δῆθεν πᾶσι τοῖς ἀρίστοις προτιμωμένῳ. ὅθεν εἰκὸς καὶ ὅσοι Πλάτωνι συνηγορεῖν εἵλοντο ἢ καὶ τοῖς ἐκείνῳ τιθεμένοις, τούτοις ἐπιχαίρειν, εἴ τι δρῷεν χάριεν Πλάτωνι, δεξιάν τε ἄσμενον παρέχοντα καὶ προσηνοῦς λόγου μεταδιδόντα, ὅσα τε ἄλλα τοι αὖ ἄξια φιλίας ἐστίν, ἐπεὶ καὶ Μιχαῆλον τὸν σόν, εἴ τι καὶ αὐτῷ τοιοῦτο πεπόνηται καὶ κατὰ τῶν τῷ Πλάτωνι ἐναντίων, καὶ πρότερον φιλῶν, μᾶλλον ἂν φιλοίης, οἶμαι τὰ νῦν, Πλήθωνι συνειπόντα, τῷ σαυτοῦ καὶ Πλάτωνος φίλῳ. εἰ δὲ φίλος σοι καὶ Θεόδωρος, πρὸς ὃν ἡμῖν ὁ ἀγών, ἀλλ' οὐ τῆς ἀληθείας καὶ Πλήθωνος φίλτερος, ἀνδρὸς οὐ μόνον αἰδεσίμου τοῖς νῦν, ἀλλὰ καὶ αὐτῷ Ἀριστοτέλει καὶ πᾶσι τοῖς παλαιοῖς, εἴ γε κατ' ἐκείνους ἐγένετο ὁ ἀνήρ. πέμπεται δή σοι τὸ βιβλίον, αἰδεσιμώτατε κύριε, οἷόν τι δῶρον ἀμοιβαῖον τῶν πρὸς ἐμέ σου μεγάλων καὶ πολλῶν δωρεῶν. σὺ δ' ἀναλαβὼν αὐτὸ καὶ μετιών, εἴ τι μὴ ὀρθῶς αὐτῷ ἔσκεπται, ἐπανορθώσας μετάδος οἷς ἂν αὐτὸς βούλοιο. D 131ᵛ
τὸν δὲ τούτου πατέρα βασιλέα νῦν ὄντα τῶν τῇδε πάντων πενήτων, οἶμαι δ' ὡς οὐκ ἀγνοεῖς, ὅταν ὡς σὲ ἔλθῃ, ῥᾷον ἂν ποιήσας ὑπήκοον.

»Ἔδει Πλήθωνα, εἴπερ αὐτῷ Ἀριστοτέλης λέγων οὐκ ὀρθῶς ἐδόκει περὶ 1. 1
οὐσίας, ἐλέγχειν τὰ λεγόμενα φαύλως πειρᾶσθαι, ἀλλὰ μὴ λοιδορεῖσθαι τἀνδρί, F 72ᵛ
οὐχ ὅπως μηθὲν ὑπ' αὐτοῦ ἠδικημένον, ἀλλὰ καὶ εὖ παθόντα. οὕτω γὰρ D 131ᵛ L 91
ἀμαθὴς μὲν ἂν ἦν, φαῦλος δὲ τὸν τρόπον ἥκιστα ὢν ἐφαίνετο. ἐπεὶ δὲ ἀμαθῶς Mn 165
καὶ ἅμα κακοήθως ὥρμηται ἐπ' Ἀριστοτέλη, τῆς μὲν ἀκολάστου γλώττης I 1
καὶ τοῦ κακούργου καὶ ἀχαρίστου ἤθους δίκην δώσει ἐν ἄλλοις.« καὶ ἐφεξῆς. P 177

Ἔδει σε Πλήθωνος ἔν τε ἄλλοις αὐτοῦ κἂν τῷ περὶ οὐσίας Ἀριστοτέλη 2
εὐθύνοντος σιωπᾶν καὶ μὴ ἀνδρὶ τοιούτῳ σαυτῷ ἀπεριμερίμνως θαρρήσαντα ἀντιλέγειν πειρᾶσθαι, ᾧ γε Πλάτωνα ἔχοντι σύμμαχον ὑπὲρ αὐτοῦ ἀπο-

---

1 Ἀποστόλη F D Ἀποστόλου Mn | 4—21 Τῷ αἰδεσιμωτάτῳ . . . ὑπήκοον F D] P I Mn *om.* | 29 ἀπεριμερίμνως L F D ἀπεριμερίστως P I Mn | 30 Πλάτωνα L F P I Mn Πλάτων D

22 Theodor. Adv. Plethonem n. 2, 2 *(supra p. 154, 17—22).*



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λογουμένῳ· οὐχ ὅτι γε αὐτὸς ἀντιλέγων δόξαις ἂν εἰπεῖν οὐδέν τι ἄξιον λόγου
τοῖς λόγων ἤκουσιν εὖ, ἀλλ' οὐδ' ὅσοι γε ἐξ αὐτοῦ Ἀριστοτέλους ἐς δεῦρο
D 132 κείνῳ τιθέμενοι Πλάτωνι ἀπηντήκεσαν· οὕτω τοι Πλάτων ἄμαχος ἐς σοφίαν,
καὶ ὅσοι Πλάτωνα Ἀριστοτέλους προετιμήσαντο. ἐπεὶ δὲ νῦν οὐκ οἶδ'
ὅπως τοσοῦτον ἠλαζονεύσω, ὥστε καὶ τοιούτοιν ἐπιστρατεύειν ἀνδροῖν, παρ'
οὓς μόλις ἂν ἄξιος εἴης εἰ περιεῖεν φοιτᾶν, οὐδ' ἡμεῖς ἂν ἡμᾶς αὐτούς γε
ἀπαξιώσαιμεν, μή σου τοσοῦτον ὄντας ἐλάττους ὅσον ἐκείνων αὐτός, μὴ οὐ
I 1v τοῖν ἀνδροῖν ξυμμαχήσειν, ἢ ἂν περὶ λόγους δυνάμεως ἔχοιμεν.

3 Αὐτίκα δή σοι τὸ πρῶτον ἐκεῖνο πῶς οὐκ ἂν ἀφραίνοντος εἴη; φάσκων
P 177v γὰρ ἐν προοιμίοις Πλήθωνα δεῖν Ἀριστοτέλη ἐλέγχειν καὶ λοιδορεῖσθαι
τἀνδρί, αὐτὸς ὥσπερ ἐπιλαθόμενος ἑαυτόν, οἷς ἂν διδάσκων φαίνοιο Πλήθωνα,
τούτοις ἑάλως περιπεσών. ἐγὼ δὲ ὅτι μὲν Πλήθων ἔν τε τῷ περὶ οὐσίας λόγῳ
F 73 αὐτοῦ ἔν τε οἷς ἄλλοις Ἀριστοτέλη ἀπευθύνων ἐλέγχει ἀμαθῆ τε ἀποκαλεῖ
καὶ οὐκ ὀρθῶς οὐδ' ἀμέμπτως περὶ αὐτῶν αὐτὸν εἰρηκότα, καὶ αὐτὸς ἂν
Mn 165v ὁμολογοῖμι θαρρούντως. ὕβριν δὲ ἢ λοιδορίαν οὐκ ἂν εἴποιμι τὰ ταῦτα, ἀλλ'
ἔλεγχον καὶ ἀπόδειξιν, ὅσα ἄν τις ἔχοντι λέγοι τινί. εἰ γάρ τίς σε ἐλάττω
L 91v λέγων χρημάτων καὶ ὄντα ἂν ἀπελέγχοι, φαίης ἂν αὐτὸν λοιδορεῖσθαί σοι.
D 132v σὺ μὲν γὰρ ἴσως, ἐγὼ δ' οὔποτ' ἂν φαίην, ἔστ' ἄν σε ἐλέγχῃ ὄντα τοιουτονί.
τὸ δέ γε τὰ μὴ ὄντα περιάπτειν τινὶ τοῦτο καλῶ λοιδορίαν ἐγώ. καὶ δὴ καὶ
Πλήθων Ἀριστοτέλη ἀμαθῆ καὶ ἀσύμφωνον αὐτῷ αὐτὸν φάσκων, τοιοῦτόν
γε ἐλεγχόμενον, οὐκ ἂν δίκαιος εἴη Ἀριστοτέλει λέγεσθαι λοιδορεῖσθαι, ἐπεί
τοί γε ἐκεῖνον ἐπανορθοῦν μᾶλλον καὶ ἀπευθύνειν λέγοιτο ἄν. σὲ δ' ἐν οἷς
ἀντιλέγεις συκοφαντῶν Πλήθωνι, οὐχ ὅτι δικαίως ἄν τις καλέσειεν ὑβριστήν,
ἀλλὰ φονῶντά τε καὶ λῃστεύοντα. δίκας γάρ σοι δώσειν αὐτῷ ἀπειλεῖς. ὧν
αὐτῷ σοι μάλιστα δεῖ γλῶσσαν ἀκόλαστον ἔχοντι καὶ ἦθος ἀχάριστον καὶ
ὅσα γε ἄττα εἰς τὸν Πλήθωνα ὕβρισας. εἶτ' οὐ ξυνίης ἐν τοῖς ἔμπροσθεν
εἰρηκὼς ἀγαθὸν αὐτόν, μὴ συκοφάντην μηδ' ἐξαπατῶντα τὸν Πλήθωνα —
εἰ γὰρ συκοφάντης, οὐκ ἀγαθός· εἰ δ' ἀγαθός, αὐτὸς συκοφάντης — ὃς οὕτω
τοι μνήμων ἐφάνης ἔν γε τοῖς σαυτοῦ σκαιαθυρματίοις, ὥστε δὶς σαυτῷ
περιπεσὼν ἔλαθες.

4 Καὶ ταυτὶ μὲν ἱκανά σοι ἐς τὰ προοίμια. μέτειμι δέ σου καὶ ἐπὶ τὸν
I 2 λόγον αὐτόν, ἐς ὃν γε αὐτὸς ἐπιλαμβάνῃ τἀνδρός, πρώτας μὲν καὶ κυριωτάτας
φάσκοντος οὐσίας τά τε εἴδη καὶ τὰ γένη, τὰ δὲ καθ' ἕκαστα δευτέρας καὶ
P 178 μείους γε τῶν εἰδῶν, Ἀθηναίῳ τε ἀνδρὶ ἑπομένου καὶ κρείττονι ἐς σοφίαν
F 73v D 133 ἢ Ἀριστοτέλους αὐτοῦ, Θρᾳκὸς ἀνδρός τε καὶ Σταγειρίτου. ἔχει δὲ οὑτωσί.
2, 1 »Ἀριστοτέλης μὲν οὖν τῷ τὰς καθ' ἕκαστα οὐσίας τοῖς ἄλλοις ἅπασιν
ὑποκεῖσθαι καὶ τἆλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι ἢ ἐν ταύταις εἶναι

1 λόγου L F Mn P I λόγον D | 4 νῦν L F D P I οὖν Mn | 6 εἰ περιεῖεν L F P I Mn ἀπειριεῖεν D | 8 ἔχοιμεν L ἔχωμεν F D P I | 9 ἀφραίνοντος] Mn *add.* ἔχωμεν | 12 ἑάλως L F Mn P I καλῶς D | 13 ἀμαθῆ L Mn P I ἀμαθεῖ F D | 24 ὧν L F D P I] Mn *om.* | 29 σαυτοῦ L F D P αὐτοῦ I Mn | 34 κρείττονι L F D P I κρίττονι Mn | 36 καθ' ἕκαστα L F D P I καθ' ἑκάστας Mn

36 Theodor. Adv. Plethonem. n. 2, 3 *(supra p. 154, 26—30)*.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πρώτας μάλιστα καὶ κυριωτάτας φησὶ λέγεσθαι εἴτ' αὐτὸς πρῶτος καλῶν εἴτε καὶ ἑτέρων τινῶν παλαιοτέρων δόξῃ καὶ διαιρέσει καὶ λέξει χρώμενος.« καὶ περαιτέρω.

Οὐδεὶς τῶν παλαιῶν, ὦ φιλότης, οὐθ' ὅσοι γε ξυνέθεντο ἐπιστήμας, 2 οὔτε οἷς ἄλλοις ἐν τοῖς σφετέροις συγγράμμασι τοιαῦται ξυνέτυχον ὑποθέσεις, Mn 166 μᾶλλον οὐσίας τὰ καθ' ἕκαστα ἠξίωσαν τῶν εἰδῶν. ἐπεὶ οὐδέν τι κατά τινος ὑποκειμένου κατηγορούμενον δευτέραν ἠξίωσαν εἶναι οὐσίαν τοῦ οὗ γε ὑποκειμένου κατηγορεῖται, εἰ μὴ καὶ τῆς οὐσίας αὐτὸς ἀξιώῃς τῆς ἀπαθοῦς προτέραν εἶναι καὶ μᾶλλον τὴν παθητήν. ὅ γε ὅτι οὐδεὶς ἐς ἔτι καὶ νῦν ἠξίωσε τῶν σοφῶν, οὐδὲ λόγου δεῖ. πῶς γάρ; οἵ γε ὑφεστηκότα ταυτὶ εἶναι ἔφασαν, καὶ καθόλου τήν τε ὕλην εἰδοποιοῦντα καὶ πρὸς τὸ ἐντελεχείᾳ ταύτην παράγοντα, ἐναντία αὐτῷ ἀξιοῦντες Ἀριστοτέλει.

Τῶν γοῦν πρὸ Ἀριστοτέλους αὐτοῦ οὐδένα ἂν εὕροις, εἰ καὶ πολλὰ κάμοιο, 3 τοιαῦτα δὴ ἀξιοῦντα, οἷα τῷ δαιμονίῳ τῷδε ἀξιοῦν κατὰ νοῦν ἐπῄει. μόνος δ' L 92 οὗτος αὐτός, ἅτε δὴ πρῶτος καὶ μόνος τοῖς εἴδεσι πολεμῶν, ἠξίωσε κυριωτάτας D 133v εἶναι οὐσίας, τῶν γε τῶν εἰδῶν τὰς τῶν καθ' ἕκαστα τῇ σφετέρᾳ ἐπαμύνειν βουλόμενος δόξῃ, ὡς οὐχ ὑφεστήκασι καθ' αὑτὰς αἱ ἰδέαι, ἀλλ' ἐν τοῖς ἀτόμοις ἢ ἐπινοίαις ψιλαῖς ἐπιθεωροῦνται, ἵνα δὴ κἀν τούτῳ, ὡς καὶ ἐν αὐτοῦ τοῖς ἄλλοις ἀχαριστήσας τῷ Πλάτωνι, τῇ ἑαυτοῦ κακοηθείᾳ χαρίσηται. ἐπεὶ τί I 2v κοινὸν τοῖν ἀνδροῖν καὶ ξύναδον; ἐμοὶ μὲν οὐδέν τι εἶναι δοκεῖ. ἄλλων γὰρ δεῖ τούτῳ λόγων, καὶ ἄλλων ἐκείνῳ. καὶ ὥσπερ οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν, οὕτως οὐδ' F 79 ἔστι Πλάτωνι καὶ Ἀριστοτέλει πρὸς ἀλλήλω φιλία. ἢ οὐχὶ δῆλός ἐστιν Ἀριστοτέλης P 178v τὰς ἰδέας ἀποκαλῶν τερετίσματα, αὐτός τε ὧν ταῦτα καὶ ὅσα τοῖς πρὸ αὐτοῦ φαίνοιτο, ἀντιλέγων, οὐχ ὅπως δὴ τερετίσματα ὄντα, ἀλλὰ ματαιοδοξία καὶ λῆρος; ὅσα γὰρ τοὺς πρὸ αὐτοῦ κολούειν Ἀριστοτέλης πειρώμενος ξυνετίθει, ἐς οὐδὲν ἐκείνων, ὡς ἐγ' ᾦμαι, τῇ ἀληθείᾳ ἑπόμενος φαίνεται, ἀλλ' ἢ τὰ μὲν συκοφαντῶν, τὰ δ' οὐδὲν περαίνων, ἔνια δὲ καὶ πλαττόμενος, δόξης τε εἵνεκα σφετέρας καὶ φθόνου τῶν πρὸ αὐτοῦ. οὐδὲ γὰρ ἀνάγκη πιστεύειν D 134 τοὺς μὲν πρὸ αὐτοῦ πάντας ψεύδεσθαι ἐς τὰ πάντα, μυρίους τε ὄντας καὶ Mn 166v ἐς ἄκρον σοφούς, αὐτὸν δὲ μόνον ἀληθεύειν ἐν πᾶσιν, ἕνα τε ὄντα κἀκείνων ἐλάττω τὰ ἐς πᾶσαν σοφίαν. ὅσα δ' αὖ τῆς ἐπιστήμης διδάσκει ἐχόμενα, μηδὲν δὲ ὅμως τῶν παλαιῶν καὶ περὶ ἐνίων αὐτῶν εἰρηκότων, τὰ τοιαῦτα καὶ ἀληθῆ καὶ μετιτέα τοῖς πᾶσι τέλους ἕνεκα οὐκ ὀλίγου.

Ἡμεῖς γε μὴν Πλάτωνί τε ἑπόμενοι καὶ τοῖς πρὸ αὐτοῦ Τιμαίῳ καὶ 4 Πυθαγόρᾳ, καὶ ὅσοις ἄλλοις ἐπῄει τοῖς τοιούτοις ξύμφωνα λέγειν, ὅτι γε μηδὲ χείροσι, πολλῷ δὲ κρείττοσι τὰ ἐς πᾶσαν σοφίαν Ἀριστοτέλους αὐτοῦ,

---

1 κυριωτάτας L Mn P I κυριωτάτους F D | 4 ἐπιστήμας L F Mn P I | ἐμιστήμας D | 5 τοιαῦται L F D τοιαῦτα P I Mn | 8 οὐσίας] L P I Mn *add.* ἂν | 14 ἀξιοῦντα L F P I Mn ἀξιώματα D | τῷδε L F D P I τῷ Mn | 20 ξύναδον L F D P ξυνᾴδου I Mn | 21 δεῖ L P I Mn δὴ F D | 21 τούτῳ L F P I Mn τούτων D | 23 φιλία L P I Mn φιλίαι F D | 27 ἑπόμενος F D P I ἐπιόμενος Mn | 33 δὲ L F D P] I Mn *om.* | 35 ἑπόμενοι F D P I ἐπιόμενοι Mn | 35—36 καὶ τοῖς . . . Πυθαγόρᾳ L F P I Mn] D *om.*



Ε.Υ. ΔΠΘΚ.Τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

οὔποτ᾽ ἂν φαῖμεν μὴ οὐ τὰς ἰδέας ὑφεστηκέναι. καὶ πρώτας εἶναι οὐσίας
ὅτε οὐδὲ ἀνουσίους ὅλως φαμὲν τοὺς τοῦ πρώτου καὶ μεγάλου λόγους θεοῦ,
οὔτε μὴν τὰ νοήματα οὐδέ γε ὅλως τὰς ἐνεργείας.

5 Οὕτω μὲν δὴ ταῦτα, οὐχ ὥσπερ ὑμεῖς φατε διαβάλλοντες, τοῖς παλαιοῖς
F 74ᵛ δεδογμένα, Πλήθωνί τε ἀποδεκτέα καὶ ἡμῖν τηρητέα, καὶ ὅσοι τὴν ἀλήθειαν
I 3 μὴ τὸ ψεῦδος ἐπιζητοῦσι. σὺ δ᾽ οἷς ἂν βούλοιο ἕπεσθαι, ὅτι γε οὐδ᾽ ἄλλῳ ἢ
L 92ᵛ Ἀριστοτέλει ἕποιο ἂν ἐοικὼς αὐτῷ τῇ δοξομανίᾳ, ἕπου μηδενός σε κωλύοντος.
οὐδὲ γὰρ οὐδὲ τό γε νῦν εἶναι περὶ τούτων ἡμῖν ὁ λόγος, ἀλλ᾽ ὅτι περὶ οὐσίας
γε οὐκ ὀρθῶς σοί τε καὶ Ἀριστοτέλει καὶ εἴρηται καὶ δεδόξασθαι.

3, 1 Περὶ μὲν δὴ τούτου ἱκανῶς. μετιτέον δ᾽ ἂν εἴη ἐπ᾽ ἐκεῖνό σου τὸ ἀξίωμα,
D 134ᵛ ἐφ᾽ ᾧ γε μέγα φρονῶν οἴει νενικηκέναι τὸν Πλήθωνα, ἄνδρα τὰ ἐς λόγους
P 179 ἀήττητον οὐχ ἧττον Ἀχιλλέως οὐδ᾽ Ἡρακλέους ἐν τοῖς πολέμοις. ὡδὶ δ᾽
αὐτὸς αὐτὸ ἀξιοῖς.

2 »Ἀεὶ γὰρ διὸ ὑπάρχει ἕκαστον, ἐκεῖνο μᾶλλον ὑπάρχει. τὰ δὲ εἴδη καὶ
τὰ γένη διὰ τὰ καθ᾽ ἕκαστα. μὴ οὐσῶν γάρ τοι τῶν πρώτων οὐσιῶν ἀδύνατον
εἶναί τι τῶν ἄλλων. πάντα γὰρ τἄλλα ἢ τῶν καθυποκειμένων λέγεται τούτων
ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστι. καὶ πρῶτα δὲ κυρίως τὰ γνωριμώτερα ἡμῖν
καὶ ἀρχὴν τὴν κατὰ γένεσιν ἔχοντα«, καὶ περαιτέρω.

3 Τί ἂν εἴης πείθων, ἀλαζὸν καὶ κοάλεμε; οὐκ ἔρρωταί σοι ὁ λόγος καίπερ
Mn 167 μέγα αὐχοῦντι ἐπ᾽ ἐπιστήμῃ τῇ λογικῇ. ἴσως δ᾽ ἂν καὶ ἄλλοι ᾤοντό σε εἶναι
τουτονὶ μὴ εἰδότες ἑαυτοὺς ἐξηπατηκότες. ἐς γὰρ δεῦρο ἐσίγας, καὶ τὸ σιγᾶν
σε δοκεῖν λογικὸν ὑπέκλεπτεν εἶναι. νῦν δ᾽ ἀξιώσει τινὸς ὑπαχθεὶς παρὰ σὲ
φοιτῶντος καὶ ἴσως ἐξεταστικοῦ τὰ ἐς λόγους, ἵνα τις ἐκείνῳ εἶναι φανῇς
τῆς σῆς ἀπόζοντι καὶ γευομένῳ τρυγός. νῦν δῆτα πρῶτον ἐς ἅμιλλαν λόγων
καθεὶς ἑαυτὸν πάνυ τοι ὀλίγον ἠλέγχθης ἢ μηδ᾽ ὁτιοῦν ἐπιστάμενος.

4 Τὸ γὰρ δὴ ἀξίωμά σου ἐκεῖνο, ὅπερ ἀεὶ ἀξιοῖ, διὸ ὑπάρχει ἕκαστον,
D 135 ἐκεῖνο μᾶλλον ὑπάρχει, οὐκ ἐν τῇδε τῇ ὑποθέσει ἡμῶν ἀληθεύει, φίλε Θεόδωρε.
F 75 ὅτι δ᾽ οὐκ ἀληθεύει, δῆλον ἐκεῖθεν. ἐκεῖνο λέγεται εἶναι οὑτινοσοῦν αἴτιον,
ὃ ἂν ἁπλοῦν ἢ σύνθετον ὂν ἑτέρου τοῦ ἁπλοῦ ἢ ξυνθέτου αἴτιον ᾖ, οἷον τὸ
ὑπερούσιον καὶ ἄκρον ἀγαθόν, ὁ θεός, τὰ νοητὰ παρήγαγε πάντα. διὸ καὶ
I 3ᵛ δικαίως ἂν λέγοιτο ταῦτα δι᾽ ἐκεῖνον ὑπάρχειν, καὶ τὸν Ὀδυσσέα δέ φαμεν
τοῦ Τηλεμάχου αἴτιον εἶναι καὶ ἄλλον ἄλλου καὶ ἕτερον ὁτιοῦν ἑτέρου τῶν
κατὰ γένεσιν. ὅθεν δικαίως ἂν τὰ τοιαῦτα λέγοιτο δι᾽ ἐκεῖνα εἶναι, ἐκεῖθεν
ἔχοντα τὴν ἀρχήν. ἐπὶ μὲν οὖν τῶν τοιούτων εἶχεν ἂν ὀρθῶς καὶ τὸ σὸν ἀξίωμα
λέγεσθαι, ἐπὶ δὲ ἀχωρίστων συνθέτων σφόδρα ἂν ἔχοι φαύλως καὶ ἀμαθῶς.
L 93 ἅπαν γὰρ σύνθετον ἐκ δύο μερῶν τοὐλάχιστον σύγκειται. τὰ δὲ καθ᾽ ἕκαστα

---

2 τοῦ LFDPI] Mn *om.* | λόγους θεοῦ LFDPI λόγου καὶ θεοῦ Mn | 4 ὑμεῖς LPIMn ἡμεῖς FD | 8 τό γε LPIMn τό τε FD | 9 δεδόξασθαι FDPI δεδείξασθαι Mn | 16 τἄλλα LFPIMn ἄλλα D | τῶν LPIMn ὧν FD | 19 πείθων FD παθὼν LPIMn | 22 ὑπέκλεπτεν LFPIMn ὑπέβλεπεν D | 23 ἐξεταστικοῦ LPIMn ἐξεταστικὸν FD | 29 ὂν LFDPI] Mn *om.* | 36 τοὐλάχιστον LPI τοῦ λαχίστου Mn λάχιστον FD

14 Theodor. Adv. Plethonem n. 2, 4 *(supra p. 154, 33—155, 1)*.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006